εἰ δ' ἔκφορός σοι συμφορὰ πρὸς ἄρσενας,
λέγ', ὡς ἰατροῖς πρᾶγμα μηνυθῇ τόδε.
εἶεν· τί σιγᾷς; οὐκ ἐχρῆν σιγᾶν, τέκνον,
ἀλλ' ἤ μ' ἐλέγχειν, εἴ τι μὴ καλῶς λέγω,
ἢ τοῖσιν εὖ λεχθεῖσι συγχωρεῖν λόγοις.
φθέγξαι τι, δεῦρ' ἄθρησον· ὦ τάλαιν' ἐγώ.
γυναῖκες, ἄλλως τούσδε μοχθοῦμεν πόνους,
ἴσον δ' ἄπεσμεν τῷ πρίν· οὔτε γὰρ τότε
λόγοις ἐτέγγεθ' ἥδε νῦν τ' οὐ πείθεται.
ἀλλ' ἴσθι μέντοι· πρὸς τάδ' αὐθαδεστέρα
γίγνου θαλάσσης· εἰ θανῇ, προδοῦσα σοὺς
παῖδας πατρῴων μὴ μεθέξοντας δόμων,
μὰ τὴν ἄνασσαν ἱππίαν Ἀμαζόνα,
ἣ σοῖς τέκνοισι δεσπότην ἐγείνατο
νόθον φρονοῦντα γνήσι', οἶσθά νιν καλῶς,
Ἱππόλυτον ΦΑΙ. οἴμοι. ΤΡ. θιγγάνει σέθεν τόδε;
ΦΑΙ. ἀπώλεσάς με, μαῖα, καί σε πρὸς θεῶν
τοῦδ' ἀνδρὸς αὖθις λίσσομαι σιγᾶν πέρι.
ΤΡ. ὁρᾷς; φρονεῖς μὲν εὖ, φρονοῦσα δ' οὐ θέλεις
παῖδάς τ' ὀνῆσαι καὶ σὸν ἐκσῶσαι βίον.
ΦΑΙ. φιλῶ τέκν'· ἄλλῃ δ' ἐν τύχῃ χειμάζομαι.
ΤΡ. ἁγνὰς μέν, ὦ παῖ, χεῖρας αἵματος φέρεις;

---

καθιστάναι $A^2$ P, συγκαθεστᾶναι BC, συγκαθίσταναι b, συγκαθέστανται a, συγκαθεστᾶναι $a^2$ | νόσον] ον ex aliis litteris corr. L 296 ὡς om. A inseruit $A^2$ | ἰατρῷ superscr. οἶς L | μηνυθῇ mut. in μηνύσω B 297 οὐκ ἐχρῆν σε σιγᾶν B χρῆν σε μὴ σιγᾶν b 298 εἰ] ἦν in ras. l, quae manus superscr. εἰ, ει ex η factum in C 300 ἄθροισον C, ἄθρησ P 301 πόνους] λόγους C 302 τῷ K, τῶν ceteri (in a superscr. οἷς alia manus), cfr. schol. τοῖς πρὶν ῥήμασιν 303 ἐτέγγεθ' AKC, ἐτέγγεθ' cum ras. supra ἐ et εγγ E, ἐτέγγεθ' a, superscr. ἐθέλγεθ' ut glossam $a^2$, ἐθέλγεθ' B superscr. γρ. ἐτέγγεθ' b, ἐθέλγεθ' L, sed θ et λ scr. in ras. et superscr. γρ. ἐτέγγεθ' manus sec., ἐθέλγεθ' P, cfr. schol. γράφεται δὲ τριχῶς· λόγοις ἐπείθετο, λόγοις ἐθέλγετο, λόγοις ἐτέγγετο | νῦν δ' AECK 304 αὐθαστέρα P 305 γίγνου scripto η super ου L, γίνου ACP, γενοῦ in schol. Aa 307 ἱππείαν LP, super ει scr. πι ut vid. l 308 τέκνοις C 309 νόθο A νόθον $A^2$ | γνήσια AEaB 310 θιγγάνει τόδ' αὖ σέθεν P (ἱππόλυτον .. θιγγάνει τόδ' in litura) 311 ἀπόλεσας A corr. $A^2$ 312 τοῦδ' αὖθις ἀνδρὸς E | αὖθι AKP, αὖθις $A^2$ | λίσομαι AC, λίσσομαι $A^2$ 315 τέκνα AE 316 αἱμάτων φέρεις Christ. pat. 703 | φέρεις aBC LP, φορεῖς AEK